33 **6.** Harpocr. s. v. Ἀλόπη· Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας· Κερκύονος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθῶν ὁ τῆς Ἱπποθωντίδος φυλῆς ἐπώνυμος, ὡς . . .

34 **7.** Harpocr. s. v. διήλλαξεν· ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησεν. Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας.

35 **8.** Harpocr. s. v. ἐπίβοιον· Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. Φιλόχορος δ' ἐν β' (FGrHist 328 F 10) φησὶν οὕτως· 'ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ θύειν οἶν, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον' . . .

36 **9.** Harpocr. s. v. ἐπιμήνια· Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. ἔοικεν εἶναι ἐπιμήνια ἤτοι τὰ καθ' ἕκαστον μῆνα θυόμενα ὑπὲρ τῆς πόλεως, ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.

37 **10.** Harpocr. s. v. ἐσχάρα· Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ ἱερείας. Ἀμμώνιος ἐν τοῖς Περὶ βωμῶν (FGrHist 361 F 1) ἐσχάραν φησὶ καλεῖσθαι τὴν μὴ ἔχουσαν ὕψος {ὡς} ἑστίαν, ἀλλ' ἐπὶ γῆς ἱδρυμένην κοίλην, παρ' ὃ καὶ τοὺς ἰατροὺς τὰ ἐν τοῖς σώμασι κοῖλα ἕλκη ἐσχάρας καλεῖν.

38 **11.** Harpocr. s. v. Ἐτεοβουτάδαι· Λυκοῦργος ἐν τῷ